ἐπ᾽ αὐτοῦ· θυμίαμα ἐνδελεχισμοῦ διὰ παντὸς ἔναντι κυρίου εἰς γενε-
ὰς αὐτῶν. [9]καὶ οὐκ ἀνοίσεις ἐπ᾽ αὐτοῦ θυμίαμα ἕτερον, κάρπωμα, 9
θυσίαν· καὶ σπονδὴν οὐ σπείσεις ἐπ᾽ αὐτοῦ. [10]καὶ ἐξιλάσεται ἐπ᾽ 10
αὐτὸ Ααρων ἐπὶ τῶν κεράτων αὐτοῦ ἅπαξ τοῦ ἐνιαυτοῦ· ἀπὸ τοῦ
αἵματος τοῦ καθαρισμοῦ τῶν ἁμαρτιῶν τοῦ ἐξιλασμοῦ ἅπαξ τοῦ
ἐνιαυτοῦ καθαριεῖ αὐτὸ εἰς τὰς γενεὰς αὐτῶν· ἅγιον τῶν ἁγίων
ἐστὶν κυρίῳ.
[11]Καὶ ἐλάλησεν κύριος πρὸς Μωυσῆν λέγων [12]Ἐὰν λάβῃς τὸν 11 12
συλλογισμὸν τῶν υἱῶν Ισραηλ ἐν τῇ ἐπισκοπῇ αὐτῶν, καὶ δώσου-
σιν ἕκαστος λύτρα τῆς ψυχῆς αὐτοῦ τῷ κυρίῳ, καὶ οὐκ ἔσται ἐν
αὐτοῖς πτῶσις ἐν τῇ ἐπισκοπῇ αὐτῶν. [13]καὶ τοῦτό ἐστιν ὃ δώσου- 13
σιν ὅσοι ἂν παραπορεύωνται τὴν ἐπίσκεψιν· τὸ ἥμισυ τοῦ διδράχ-
μου, ὅ ἐστιν κατὰ τὸ δίδραχμον τὸ ἅγιον· εἴκοσι ὀβολοὶ τὸ δί-
δραχμον, τὸ δὲ ἥμισυ τοῦ διδράχμου εἰσφορὰ κυρίῳ. [14]πᾶς ὁ παρα- 14
πορευόμενος εἰς τὴν ἐπίσκεψιν ἀπὸ εἰκοσαετοῦς καὶ ἐπάνω δώσου-
σιν τὴν εἰσφορὰν κυρίῳ. [15]ὁ πλουτῶν οὐ προσθήσει καὶ ὁ πενό- 15
μενος οὐκ ἐλαττονήσει ἀπὸ τοῦ ἡμίσους τοῦ διδράχμου ἐν τῷ
διδόναι τὴν εἰσφορὰν κυρίῳ ἐξιλάσασθαι περὶ τῶν ψυχῶν ὑμῶν.
[16]καὶ λήμψῃ τὸ ἀργύριον τῆς εἰσφορᾶς παρὰ τῶν υἱῶν Ισραηλ 16
καὶ δώσεις αὐτὸ εἰς κάτεργον τῆς σκηνῆς τοῦ μαρτυρίου, καὶ ἔσται
τοῖς υἱοῖς Ισραηλ μνημόσυνον ἔναντι κυρίου ἐξιλάσασθαι περὶ τῶν
ψυχῶν ὑμῶν.
[17]Καὶ ἐλάλησεν κύριος πρὸς Μωυσῆν λέγων [18]Ποίησον λουτῆ- 17 18
ρα χαλκοῦν καὶ βάσιν αὐτῷ χαλκῆν ὥστε νίπτεσθαι· καὶ θήσεις
αὐτὸν ἀνὰ μέσον τῆς σκηνῆς τοῦ μαρτυρίου καὶ ἀνὰ μέσον τοῦ
θυσιαστηρίου καὶ ἐκχεεῖς εἰς αὐτὸν ὕδωρ, [19]καὶ νίψεται Ααρων καὶ 19
οἱ υἱοὶ αὐτοῦ ἐξ αὐτοῦ τὰς χεῖρας καὶ τοὺς πόδας ὕδατι. [20]ὅταν 20
εἰσπορεύωνται εἰς τὴν σκηνὴν τοῦ μαρτυρίου, νίψονται ὕδατι καὶ
οὐ μὴ ἀποθάνωσιν· ἢ ὅταν προσπορεύωνται πρὸς τὸ θυσιαστήριον
λειτουργεῖν καὶ ἀναφέρειν τὰ ὁλοκαυτώματα κυρίῳ, [21]νίψονται τὰς 21
χεῖρας καὶ τοὺς πόδας ὕδατι· ὅταν εἰσπορεύωνται εἰς τὴν σκηνὴν
τοῦ μαρτυρίου, νίψονται ὕδατι, ἵνα μὴ ἀποθάνωσιν· καὶ ἔσται αὐ-
τοῖς νόμιμον αἰώνιον, αὐτῷ καὶ ταῖς γενεαῖς αὐτοῦ μετ᾽ αὐτόν.
[22]Καὶ ἐλάλησεν κύριος πρὸς Μωυσῆν λέγων [23]Καὶ σὺ λαβὲ ἡδύ- 22 23
σματα, τὸ ἄνθος σμύρνης ἐκλεκτῆς πεντακοσίους σίκλους καὶ κιν-
ναμώμου εὐώδους τὸ ἥμισυ τούτου διακοσίους πεντήκοντα καὶ

8 δια παντος > A* | γεν.] pr. τας A || 9 ανοισεις $B^{c}$] -σει B*, -σεται A | και ult. > B*† | σπεισεται(pro -τε) A || 10 επ αυτο $B^{c}A^{r}$] περι αυτου B*† | των αμαρτ. — ενιαυτου ult. > B† | τας > B† | κυριω] pr. τω A || 12 λυτρα] pr. τα A† | τω > B || 14 την ult. > A || 15 ελαττονωσει A | ημισους] -συ B†, -συς A† || 16 κατεργ.] pr. το A | εξιλασ.] pr. και B*† || 19 εξ — χειρας] τας χ. αυτων εξ αυτου A† | υδατι > A* || 20 η > B† | κυριω] pr. τω A || 23 το $1^{0}$ > A | διακοσιους $1^{0}$ ⌒ $2^{0}$ A* | πεντηκοντα bis] pr. και $A^{s}$ uel A